www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΚΥΡΙΑΣ ΚΑΙ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ
# ΤΗΣ ΤΡΙΧΕΡΟΥΣΗΣ

**(ἑορταζομένης τῷ Σαββάτῳ πρὸ τῆς 12ης Ἰουλίου)**




**Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** Ἅγιον Ὄρος Ἄθως * ͵βι΄ * 2010 ***

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



**Τῼ ΣΑΒΒΑΤῼ ΠΡΟ ΤΗΣ ΙΒ' ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ ΕΟΡΤΑΖΟΜΕΝ ΤΗΝ ΚΥΡΙΑΝ ΗΜΩΝ & ΔΕΣΠΟΙΝΑΝ ΘΕΟΤΟΚΟΝ, ΤΗΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΤΡΙΧΕΡΟΥΣΑΝ**

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους Ϛ' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος. α'. Τῶν οὐρανίων ταγμάτων.

Ὥσπερ πλουτεῖς τῶν χαρίτων, τὸ πλῆθος Δέσποινα, οὕτω τὰς κλήσεις ἔχεις, παμπληθεῖς ὑπὲρ πάντας. Ἐξ οὗ γὰρ Θεοτόκε τὸν Λόγον Θεοῦ, ἐν γαστρί σου ἐβάστασας, κόσμου ἀΰλου καὶ φύσεως ὁρατῆς, τὸ μεθόριον γεγένησαι.

Ὅτε ὁ σάλος ἠγέρθη, κατὰ εἰκόνων σεπτῶν, τότε ὁ Ἰωάννης, Δαμασκοῦ θεῖος γόνος, ἐν λόγοις πολυσόφοις τιμὴν σχετικήν, τούτων καθυπεστήριξεν, συκοφαντίας δὲ θύμα ἀναδειχθείς, δεξιὰν αὐτοῦ ἀπώλεσεν.

Τῇ πανιέρῳ εἰκόνι, τῆς Θεομήτορος, ὁ Ἰωάννης πίπτων, δεξιὰν τὴν τμηθεῖσαν, δεικνὺς ταύτην καὶ αὖθις πανυγιᾶ, θαυμασίως ἀπείληφεν· ὅθεν ὡς εὔγνωμον δῶρον ἀσημουργεῖ, τρίτην χεῖρα ὁ μακάριος.

Ἐκ μὲν ἡλίου ἀκτῖνες, κόσμον φωτίζουσι, ἐκ δὲ τῆς σῆς εἰκόνος, Τριχεροῦσα Παρθένε, ἐκβλύζουσιν ἀπαύστως ἐνεργειῶν, τῶν ἀκτίστων οἱ χείμαῤῥοι, καὶ πλημυῤῥοῦσι καρδίας τῶν εὐλαβῶν, προσκυνούντων καὶ τιμώντων σε.

Μετὰ τὴν θείαν σου γένναν, ὕλη ἡγίασται, καὶ διὰ ταύτης ἔργον, σωτηρίας τελεῖται, διὸ καὶ τῶν χρωμάτων Μῆτερ Θεοῦ, χρῆσις φέρει εἰς ἔννοιαν, διὰ τῶν θείων εἰκόνων τοῦ σοῦ Υἱοῦ, ὑπὲρ λόγον ἐνανθρώπησιν.

Τῆς Φοινικοῦντος τὴν κώμην, Παρθένε φύλαττε, ἐκ πάσης ἐπηρείας, τὴν πλουτοῦσαν εἰκόνα, τὴν σὴν ὑπὲρ χρυσίον πολυτελές, ἣν τιμᾷ ὡς πηγάζουσαν, τῆς μητρικῆς σου ἀγάπης τὰς δωρεάς, τοῖς πιστῶς ταύτῃ προστρέχουσι.

Δόξα. Καὶ νῦν. Ἦχος β'.

Τὸν κατ' εἰκόνα αὐτοῦ πλάσαντα τὸν ἄνθρωπον Θεὸν Λόγον, ἐκ τῶν τιμίων σου αἱμάτων ὡς βρέφος γεννήσασα, εἴληφας δικαίως, τὰ δευτερεῖα τῆς Τριάδος Πανάχραντε. Διὸ καὶ τοὺς τιμῶντας τὴν παναγίαν σου μορφήν, χάρισιν ποικίλαις ἑκάστοτε καταπλουτίζεις, ὥσπερ τὸν πιστόν σου λάτρην Ἰωάννην, οὗτινος τὴν ἀδίκως κοπεῖσαν χεῖρα, αὖθις ὑγιᾶ ἀποκατέστησας, καὶ ἐκ τῆς θαυματουργίας ταύτης, τὴν πρὸς ταῖς ἄλλαις προσωνυμίαν, Τριχεροῦσα εἴληφας. Ἥν περ οἱ Φοινικούντιοι, πανευλαβῶς καταπροσκυνοῦντες, ἐκ ψυχῆς σοῦ δεόμεθα· φύλαττε ἡμᾶς ἀτρώτους, ἐκ τῶν ἐχθροῦ ἐπιθέσεων, καὶ ἐν εἰρήνῃ βιοῦντας καὶ μετανοίᾳ καταξίωσον, ὅπως γενώμεθα κληρονόμοι τῆς Βασιλείας τοῦ Υἱοῦ σου, Ἁγνὴ Θεομακάριστε.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.
Τὰ Θεομητορικὰ ἀναγνώσματα.

Γενέσεως τὸ ἀνάγνωσμα.
(Κεφ. 28, 10-17).

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαῤῥάν. Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν Οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾽ αὐτήν. Ὁ δὲ Κύριος

ἐπεστήρικτο ἐπ᾿ αὐτῆς, καὶ εἶπεν· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ· ἡ γῆ, ἐφ᾽ ἧς σὺ καθεύδεις ἐπ᾿ αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ λίβα, καὶ βοῤῥᾶν, καὶ ἐπὶ ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλείπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· Ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! Οὐκ ἔστι τοῦτο, ἀλλ᾽ ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

## Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.
## (Κεφ. 43, 27 & 44, 1-4).

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ Θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν· καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι᾽ αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ Ἡγούμενος οὗτος κάθηται ἐπ᾿ αὐτὴν τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου· κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς πρὸς βοῤῥᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

## Παροιμιῶν τὸ ἀνάγνωσμα.
## (Κεφ. 9, 1-11).

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὡς ἐπὶ κρατῆρα, λέγουσα· Ὃς ἔστιν ἄφρων, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν·

Ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· (οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ). Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων, σύνεσις· (τὸ γὰρ γνῶναι Νόμον, διανοίας ἐστὶν ἀγαθῆς). Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α'

Ἡ φαιδροπάροχος πανήγυρις τῆς Παναχράντου Θεοτόκου ἐπιστᾶσα, ἀπόρους καθιστᾷ ἡμᾶς πρὸς τὴν ἐπάξιον ἀπόδοσιν τῶν εὐχαριστηρίων αἰσθημάτων, ἀνθ’ ὧν εὐεργεσιῶν ἀδιαλείπτως παρ’ Αὐτῆς ἀπολαύομεν. Ὅθεν τὴν τοῦ Ἀρχαγγέλου χαιρετιστήριον ᾠδὴν ὑποκλέπτοντες, πάσῃ δυνάμει ἀναβοήσωμεν· Χαῖρε Κεχαριτωμένη Τριχεροῦσα, ἡ ἐν γυναιξὶν ὑπερευλογημένη, ἡ προστατεύουσα ἀεὶ τῶν χριστωνύμων τέκνων σου καὶ τῆς τιμώσης σε ταύτης κώμης, ἡ ἀπροσμάχητος σκέπη καὶ βοήθεια.

Ἦχος β'

Ὥσπερ τὴν κοπεῖσαν δεξιὰν τοῦ θεολόγου ὑμνῳδοῦ σου Ἰωάννου Τριχεροῦσα Πανάχραντε ὑγιᾶ πάλιν ἀπέδειξας, οὕτω καὶ ἡμῶν τὰς ψυχικὰς ἀλγηδόνας καὶ τὰς ἐκ τῶν ἁμαρτιῶν πληγὰς ὁλοτελῶς ἰάτρευσον, ὡς ἀποθεραπευτικὴν βοτάνην ἐπιβάλλουσα, τῆς μητρικῆς σου στοργῆς τὴν ἐπιμέλειαν, ἵνα ὀφειλετικῶς τὴν πάνσεπτον μορφήν σου κατασπαζόμενοι, πρόσθεσιν λαμβάνωμεν τῆς πρὸς σὲ υἱικῆς ἀγάπης, οἱ ἄλλην καταφυγὴν ἐκτός σου μὴ γινώσκοντες.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος γ'

Τίς ποτε ἐν πίστει καταφυγὼν τῇ μεσιτείᾳ σου Τριχεροῦσα ἄπρακτος κατῃσχύνθη, καὶ τῶν δικαίων αἰτημάτων τὴν λύσιν αὐθωρεὶ οὐκ εἴληφεκ ἢ τίς βαρούμενος ποικίλαις περιστάσεσι τοῦ βίου καὶ τὴν βοήθειάν σου ἐπικαλεσάμενος ἐν ὅλῃ ψυχῇ, ταύτην σύμπορον οὐχ εὕρατοκ Ὅθεν καὶ ἡμεῖς, οἱ τὴν ἁγίαν σου εἰκόνα καταπλουτοῦντες, ὑπέρμαχον προστασίαν σε θεωροῦντες, δοξάζομεν τὸν ὑπὸ σοῦ ὑπερφυῶς γεννηθέντα Δεσπότην καὶ Σωτῆρα Χριστόν.

Ἦχος δ'

Τῇ μακαρίᾳ σου προφητείᾳ Θεοχαρίτωτε Τριχεροῦσα ἑπόμενοι, σὺν πάσῃ αἰνεσάσῃ σε γενεᾷ, τὴν αἴνεσιν ἡμῶν συμμιγνύντες, δοξάζομέν σε, ὡς τοῦ φιλανθρώπου Θεοῦ Λόγου Μητέρα πανάχραντον καὶ τῶν ἁγίων ἀγγέλων ἀκατάπαυστον μελῴδημα. Διὰ σοῦ γὰρ τῆς ἁμαρτίας ἐλευθερωθέντες καὶ τέκνα Ἐκκλησίας γεγονότες, παντοδαπῶς μεταλαμβάνομεν τοῦ ἐλέους Κυρίου, τοῦ ὑπὲρ πάντα ἄνθρωπον ἀξίως σε Θεοχαρίτωτε ὑπερδοξάσαντος.

Δόξα. Καὶ νῦν. Ἦχος πλ.α'

Τῆς Ὀρθοδόξου Θεολογίας τὸν πλουτισμὸν πατρόθεν κληρονομήσαντες, τὸ πάνσεπτόν σου Πρόσωπον, Τριχεροῦσα παναμώμητε, ἀξίως ὑπερτιμᾶν ἐμάθομεν, καὶ τὴν ἐν εἰκόσιν ἁγίαν σου μορφὴν προσκυνεῖν σχετικῶς ἐδιδάχθημεν. Οὐ γὰρ τὴν ὕλην τῶν χρωμάτων θεοποιοῦμεν, ἀλλὰ τὰς μυστικὰς χάριτας, τὰς ἐκ τοῦ πανάγνου Προσώπου σου ἐκχεομένας, ἀπαντλοῦμεν καὶ ἁγιαζόμεθα. Ὅθεν τὴν ἀνακαινιστικήν σου εὐλογίαν ἀεὶ πλουσίως χορήγει, τοῖς ἐν τῷ πανσέπτῳ τούτῳ οἴκῳ σου σεβαστικῶς κατασπαζομένοις σε, Μῆτερ Θεοῦ ἀνύμφευτε.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.α'. Χαίροις ἀσκητικῶν.

Χαίροις, ἡ Θεὸν Λόγον Χριστόν, ἐκ τῶν πανάγνων σου αἱμάτων γεννήσασα, διὸ καὶ ἀπειληφυῖα, τῶν πρεσβειῶν τὴν ἰσχύν, τὴν Θεῷ ἑνοῦσαν τοὺς τιμῶντάς σε· ἀκτῖνας τῆς χάριτος, τοῖς ἀνθρώποις ἐκπέμπουσα, καὶ ἀνορθοῦσα, τοὺς δεινῶς καταπίπτοντας, ἐκ τῶν θλίψεων καὶ δεινῶν περιστάσεων. Ὅθεν ἀσπαζομένους σου, εἰκόνα ἁγίαν σου, θεοφιλῶς Τριχεροῦσα, ἐν τῇ ἀγάπῃ συντήρησον, γλυκέος Υἱοῦ σου, καὶ συγχώρησιν παράσχου τῶν παραπτώσεων.

Στίχ. *Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.*

Χαίροις, Χριστιανῶν ἡ ἐλπίς, τῶν ἀσθενούντων ἰατρεία φιλόστοργος, ἁπάντων τῶν θλιβομένων, προσδωκομένη χαρά, καὶ τῶν ἐν τῇ πτώσει ἡ ἀνόρθωσις· ταχεῖα ἀντίληψις, αἰτουμένων τὴν χάριν σου, ἡ βακτηρία, κλονουμένων ταῖς θλίψεσι, ἡ οὐράνιος, μυροθήκη τοῦ Πνεύματος. Πρόφθασον Παναμώμητε, καὶ ῥῦσαι τοὺς δούλους σου, ἐκ πειρασμῶν πολυτρόπων, ὅπως τὴν θείαν εἰκόνα σου, σεμνὴ Τριχεροῦσα, ἐν πολλῇ εὐγνωμοσύνῃ, κατασπαζώμεθα

Στίχ. *Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.*

Χαίροις, Φοινικουντίων πιστῶν, ἡ ἐκ Θεοῦ χορηγηθεῖσα ὑπέρμαχος, πρεσβεία πρὸς τὸν Σωτῆρα, ἐν τοῖς τοῦ βίου δεινοῖς, Μῆτερ Τριχεροῦσα, ἡ φιλότεκνος· ἀεὶ γὰρ προΐστασαι, καὶ λυτροῦσαι τοὺς δούλους σου, ἐκ πάσης βλάβης, μυστικαῖς εἰσηγήσεσι, πρὸς φιλάνθρωπον, Ἰησοῦν ·Ὃν ἐθήλασας. Ὅθεν εὐχαριστοῦντές σοι, μορφὴν τὴν ἁγίαν σου, ἀπὸ ψυχῆς προσκυνοῦντες, σὲ μακαρίζομεν Πάναγνε, αἰτούμενοι λύσιν, τῶν πολλῶν πλημμελημάτων, καὶ παραπτώσεων.

Δόξα. Καὶ νῦν. Ἦχος πλ.δ'.

Ὡς καταχραίνοντες τὸ θεοδώρητον κατ᾽ εἰκόνα, Θεομακάριστε, τοῖς ἑκουσίοις καὶ ἀκουσίοις πταίσμασι, σοὶ ἐν μετανοίᾳ προσπίπτομεν,



ΑΘΘΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τούτων τὴν συγχώρησιν παρὰ Χριστοῦ ἐξαιτούμενοι. Οἴδαμεν γὰρ Τριχεροῦσα παναμώμητε, ὅτι πολλὰ ἰσχύεις ἐν προσευχαῖς, πρὸς τὸν Δεσπότην, Ὃν ὡς βρέφος ἐγαλούχησας. Δίωκε, ὅθεν, ἀφ' ἡμῶν τὰ ψυχοφθόρα πάθη, καὶ ἀνακαίνισον τῇ μετανοίᾳ τὸν ἔσω ἄνθρωπον, ὅπως χαίροντες τιμῶμεν καὶ προσκυνῶμεν τὴν πάνσεπτον μορφήν σου, Θεοτόκε ἄχραντε.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

*Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Τριχεροῦσα Παρθένε, Φοινικοῦντα εὐλόγησον,
καὶ τοὺς τὴν σεπτήν σου εἰκόνα,
προσκυνοῦντας ἁγίασον·
ἐν πᾶσι γινομένη βοηθός,
καὶ σκέπη ἀσφαλὴς ἐν πειρασμοῖς,
ὅπως ὕμνοις καὶ ᾠδαῖς σε χρεωστικῶς,
τιμῶμεν οὕτω κράζοντες.
Δόξα τῷ ἐνοικήσαντι ἐν σοί,
δόξα τῷ μεγαλύναντι,
δόξα τῷ σὲ προστάτιν κραταιάν,
ἡμῖν διδόντι Ἄχραντε.

ἕτερον. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν πανσεβάσμιον,
μορφήν σου Δέσποινα,
ἔχει θησαύρισμα πολυτιμότατον,
ἡ Φοινικοῦντα καὶ ἀεί,
ἐν πίστει ἀσπαζομένη,
ταύτην ἀνακράζει σοι·
Τριχεροῦσα διάσωσον,
τοὺς σὲ μεγαλύνοντας,
καὶ αἰτήματα πλήρωσον,
παρέχουσα τοῖς πᾶσι βεβαίαν,

τὴν σωτηρίαν ταῖς πρεσβείαις σου.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Τὴν χεῖρά σου Σεμνή, Τριχεροῦσα ὑψοῦσα, πρὸς τὸν Μονογενῆ, δι' αὐτῆς τὰς δεήσεις, Αὐτῷ τῶν τιμώντων σε, καθ' ἑκάστην προσάγαγε, καὶ ἐκπλήρωσον, πρὸς τῶν ψυχῶν τὸ συμφέρον, ὅπως κράζωμεν, τοῦ ἀρχαγγέλου τὸ Χαῖρε, ἀπαύστως οἱ δοῦλοί σου.

Δόξα. Καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὴν β' στιχολογίαν.Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς.

Τὴν ἱερὰν σου Τριχεροῦσα εἰκόνα, καταπλουτοῦσα ἡ χριστώνυμος κώμη, τῆς Φοινικούντας εὕρατο ἐν πᾶσιν ἰατρόν· ἀσθενείας σώματος καὶ ψυχῆς τὰς ποικίλας, μητρικῶς διώκουσαν, καὶ πλουσίως πληροῦσαν, τῶν αἰτουμένων πίστει τὰς εὐχάς, καὶ δοξαζόντων, τὴν ἄφθιτον χάριν σου.

Δόξα. Καὶ νῦν, τὸ αὐτό.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Τὴν σεπτήν σου εἰκόνα κατασπαζόμενοι, Τριχεροῦσα Παρθένε Μῆτερ ἀνύμφευτε, εὐγνωμόνως τὰς ᾠδὰς ἀναμέλπομεν, ἐκζητοῦντες ἐκ ψυχῆς, προστασίαν ἐκ παντός, κινδύνου καὶ τὴν εἰρήνην, ὅπως ἀεί σου τὴν δόξαν, ἀνακηρύττωμεν οἱ δοῦλοί σου.

Δόξα. Καὶ νῦν. τὸ αὐτό.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.

Προκείμενον· Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Στίχος· *Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεύς τοῦ κάλλους σου.*

Πᾶσα πνοή.
**Εὐαγγέλιον**, κατὰ Λουκᾶν· Ἀναστᾶσα Μαριάμ.
Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τῆς Τριχερούσης.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β΄.
Στίχ. *Ἐλέησόν με ὁ Θεός....*

Τὴν τοῦ Πατρὸς ἀκριβῆ καὶ γνησίαν εἰκόνα, τὸν Θεὸν Λόγον ἐν τῇ πανάγνῳ κοιλίᾳ σου, Τριχεροῦσα ὡς βρέφος κυήσασα, καὶ μητρικῶς γαλουχήσασα, μὴ διαλίπῃς πρεσβεύειν ἐν νυκτὶ καὶ ἡμέρᾳ, ὑπὲρ τῶν τέκνων σου Φοινικουντίων, τῶν προσκυνούντων ἐκ πόθου, τὴν εἰκόνα σου τὴν ἄχραντον.

**Ὁ Κανὼν τῆς Κυρίας Τριχερούσης, οὗ ἡ ἀκροστιχίς:**
*"Τὴν Φοινικοῦντα σκέπασον, Τριχεροῦσα. Ἀ(θανάσιος)"*

Ὠιδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Τριάδος γεννήσασα, τὸν ἕνα φύσιν νικήσασα, Τριάδος γεγένησαι οἶκος πανάγιος, διὸ πάνσεμνε, Παρθένε Τριχεροῦσα, εἰκόνα τιμίαν σου, κατασπαζόμεθα.

Ἡ χάρις σου Πάναγνε, ἐν ταῖς εἰκόσιν ἐγκέκρυπται, καὶ ὥσπερ ὁ ἥλιος, ἀκτῖνας πάντοτε, τοῖς προσπίπτουσιν, ἐν πόθῳ Τριχεροῦσα, παρέχεις αἰτήσεων, ταχεῖαν πλήρωσιν.

Ναόν μου τοῦ σώματος, ὅνπερ ἐσπίλωσα κάθαρον, διδοῦσα μετάνοιαν, καὶ αὖθις δεῖξόν με, Τριχεροῦσά μου, λαμπρὸν Υἱοῦ σου οἶκον, Αὐτοῦ τὰ θελήματα, προθύμως πράττοντα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Φυλάκισσαν ἔγνω σε, ἡ Φοινικοῦντα ὑπέρμαχον, δαιμόνων ἐλαύνουσαν, πᾶσαν ἐπήρειαν, καὶ ἀσπάζεται, Παρθένε Τριχεροῦσα, τὴν θείαν εἰκόνα σου, πόθῳ εὐγνώμονι.

Καταβασία. *Ἀνοίξω τὸ στόμα μου.*

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Οὐκ ἔχοντες ἄλλην Τριχεροῦσα, μεσίτριαν πρὸς τὸν σὸν Υἱόν, Ὃν πάντοτε ταῖς πράξεσιν, λυποῦμεν οἱ ταλαίπωροι, σὲ πάντες προβαλλόμεθα, εἰδότες σου τὸ φιλότεκνον.

Ἰάτρευσον Μῆτερ Τριχεροῦσα, τὰ πάθη σωμάτων καὶ ψυχῶν, ταῖς θείαις ἱκεσίαις σου, ἔλαιον ἐπιχέουσα, ἀγάπης σου τοῖς τραύμασι, καὶ ἐφεξῆς τῶν πτώσεων, ἡμᾶς μακρὰν διατήρησον.

Νικᾷ τοῦ Δεσπότου Τριχεροῦσα, ὀργὴν μεσιτεία σου θερμή, ἣν μητρικῶς ἀείποτε, ὑπὲρ ἡμῶν τῶν τέκνων σου, ποιεῖς ἀντιπαρέχουσα, σωτηριώδη μετάνοιαν.

Ἱκάνωσον θεία Τριχεροῦσα, τηρεῖν τὰ προστάγματα Χριστοῦ, Φοινικουντίους ἅπαντας, καὶ πάντοτε πορεύσεθαι, ὁδὸν τὴν πρὸς Παράδεισον, τοὺς σεβομένους σε φέρουσαν.

Καταβασία. *Τοὺς σοὺς ὑμνολόγους.*

Κάθισμα .Ἦχος πλ.δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς Βασίλειος Μέγας θεολογεῖ, ἡ τιμὴ τῆς εἰκόνος θεοπρεπῶς, βαίνει εἰς πρωτότυπον, ἐξ οὗ δίδονται χάριτες, σχετικῶς τιμῶσιν, αὐτὸ ὡς τὸν Κύριον, τὴν πηγὴν ἁπάσης, πιστοῖς ἁγιότητος. Ὅθεν Τριχεροῦσα, Θεοτόκε Παρθένε, μορφὴν τὴν τιμίαν σου, προσκυνοῦντες δεόμεθα, Φοινικοῦντα εὐλόγησον, παρέχουσα πλουσίως αὐτῇ, μητρικήν σου σκέπην καὶ βοήθειαν, καὶ ἡμῖν Παραδείσου, γλυκέος κατοίκησιν.

Δόξα. Καὶ νῦν.Τὸ αὐτό.

Ὠιδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Κύκλῳ τῆς εἰκόνος σου εὐλαβῶς, βλέπε Τριχεροῦσα τὰ τέκνα σου, αἴροντα πόθῳ, ὀφθαλμοὺς αὐτῶν ψυχῆς, πρὸς σὲ καὶ ἀναμένοντα, ὥσπερ νεοσσοὶ θείαν σκέπην σου.

Οὐ τὴν ὕλην Δέσποινα τὴν φθαρτήν, οὐδὲ τῶν χρωμάτων τὴν σύστασιν, ἀλλὰ σὲ πόθῳ, προσκυνοῦμεν τὴν ἁγνῶς, Λόγον Θεοῦ γεννήσασαν, Ὅστις σε μεγάλως ἐδόξασεν.

Ὑπὲρ Φοινικοῦντος διηνεκῶς, καὶ παντὸς τιμῶντός σε πρέσβευε, ὦ Τριχεροῦσα, καὶ χορήγει δαψιλῶς, τὰς δωρεὰς τῆς χάριτος, καὶ ἁμαρτιῶν τὴν ἀπόσβεσιν.

Νοῦν ἡμῶν ἀπάλλαξον λογισμῶν, Τριχεροῦσα θείᾳ ἐμπνεύσει σου, ἐγκαθιστῶσα, ἀδιάλειπτον ἡμῖν, τὴν μνήμην τὴν σωτήριον, Ἰησοῦ εἰρήνης τοῦ σύμπαντος.

Καταβασία. *Τὴν ἀνεξιχνίαστον.*

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Τὰς χεῖρας κατεύθυνον, ἡμῶν πρὸς τὴν ἐκτέλεσιν, θείων Τριχεροῦσα ἐνταλμάτων, ὅτι χωρίς σου, οὐδὲν δυνάμεθα, πράττειν καὶ ποιεῖν θεοφιλῶς, οἱ πολυαμάρτητοι, καὶ ἀχρεῖοι ἱκέται σου.

Ἄνοιξον ἡμῖν, τὴν πύλην τὴν φέρουσαν πρὸς τὸν παράδεισον, Τριχεροῦσα πάνσεμνε, καὶ τὰς ἰγνύας ψυχῶν ἐνίσχυσον, ὅπως καλῶς βαδίσαντες, βίον τὸν σύντομον, εὑρεθῶμεν, τῶν Ἁγίων σύσκηνοι, καὶ ὀψώμεθα φῶς τὸ ἀνέσπερον.

Σκέπασον ἡμᾶς, ὡς ὄρνις φιλότεκνος τοὺς νεοσσοὺς ἑαυτῆς, καὶ κακοῦ ἱέρακος, ὦ Τριχεροῦσα, ὀνύχων λύτρωσαι, ὅτι ἀεὶ σοφίζεται, τοῦ

ἀπωλέσαι ἡμᾶς, ἐν ἡμέρᾳ καὶ νυκτὶ τὰ σκάνδαλα, ἁμαρτίας κακῶς ἐργαζόμενος.

Κράτησον χειρῶν, ἡμᾶς καὶ ὁδήγησον ὦ Τριχεροῦσα Χριστῷ, ὅτι ἡ πρεσβεία σου, πολλὰ ἰσχύει πρὸς τὸν Φιλάνθρωπον, Οὗ ὄπισθεν ἀξίωσον, βαδίζειν ἅπαντας, τοὺς τιμῶντας, τὴν σεπτὴν εἰκόνα σου, καὶ τυχεῖν σωτηρίας Πανάμωμε.

Καταβασία. *Ἐξέστη τὰ σύμπαντα.*

Ὠιδὴ Ϛ'. Τὴν θείαν ταύτην.

Ἐν ὥρᾳ κρίσεως πρόστηθι, ἡμῶν ὦ Τριχεροῦσα συνήγορος, πρὸς τὸν ἀδέκαστον, Κριτὴν Αὐτὸν ἐκμειλίττουσα, πρεσβείας σου μητρῴαις καὶ παρακλήσεσι.

Πολλάκις βίου αἱ μέριμναι, σκοτοῦσι τὰς ψυχὰς Τριχεροῦσά μου, καὶ ἀποκρύπτουσι, τὸ χαρωπὸν Χριστοῦ πρόσωπον· διὸ ταχέως νέφη, θλίψεων δίωκε.

Ἀγκάλαις Λόγον βαστάζουσα, τὸν ἅπασαν τὴν κτίσιν βαστάζοντα, αἶρε τὴν χεῖρά σου, ἀριστερὰν Τριχεροῦσά μου, καὶ Τούτῳ τὰς αἰτήσεις ἡμῶν προσάγαγε.

Σοὶ δοῦλοι πάντες πεφύκαμεν, καὶ τέκνα κατὰ χάριν Πανάχραντε, εἰ καὶ πεπτώκαμεν, ἐν ἁμαρτίαις οἱ ἄθλιοι, ἀλλ’ ὅμως μετανοίᾳ σοὶ προσερχόμεθα.

Καταβασία. *Τὴν θείαν ταύτην.*

Κοντάκιον.
Ἦχος πλ.δ'. Τῇ Ὑπερμάχῳ.

Τὴν ἱερὰν καταπλουτήσασα εἰκόνα σου,
ἡ Φοινικοῦντα Τριχεροῦσα Παναμώμητε,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

περιστάσεσι τοῦ βίου σοὶ καταφεύγει,
καὶ λαμβάνουσα τὴν λύσιν τῶν αἰτήσεων,
εὐγνωμόνως ἀνυμνεῖ ὑμνολογοῦσά σε·
Χαῖρε Ἄχραντε, ἡ σκέπη τῶν τιμώντων σε.

**Ὁ Οἶκος**

Ἄγγελοι καθορῶντες τὴν ὑπέρτιμον δόξαν, ἣν ἔχεις Τριχεροῦσα Παρθένε, ὥς περ εἰκὸς ἐκπλήττονται, πῶς σάρκα τὴν πηλίνην φοροῦσα, Μήτηρ Θεοῦ ἀΰλου ἐγεγόνεις, μεθόριον ἐκτοτε οὖσα τῶν δύο κόσμων, διό σοι προσφωνοῦσιν οὕτως·

Χαῖρε, τῶν Ὀρθοδόξων πρὸς Θεὸν μεσιτεία,
Χαῖρε, Φοινικουντίων διαρκὴς προστασία.
Χαῖρε, πύλη, ἣν διώδευσεν ὁ φιλάνθρωπος Χριστός,
Χαῖρε, βάσις ἐφ' ἣν πέποιθεν ὁ χριστώνυμος λαός.
Χαῖρε, σωματικῶν νοσημάτων θεράπαινα,
Χαῖρε, τῶν ψυχικῶν ἀσθενειῶν ἡ ἰάτραινα.
Χαῖρε, ἡ Ἰωάννου συγκολλήσασα χεῖρα,
Χαῖρε, ἡ Παραδείσου διανοίξασα θύραν.
Χαῖρε, ὅτι τοὺς πιστοὺς δαψιλῶς ἐνισχύεις,
Χαῖρε, ὅτι τῶν δαιμόνων τὰς ὀρδὰς διαλύεις.
Χαῖρε, μετανοούντων ἐλπὶς ἀμετάθετος,
Χαῖρε, τῶν κλονουμένων ἀντίληψις ἄμεσος
Χαῖρε Ἄχραντε, ἡ σκέπη τῶν τιμώντων σε.

*Τὸ Συναξάριον*

**Τῇ αὐτῇ ἡμέρᾳ πανηγυρικῶς ἑορτάζομεν τὴν ὑπέρμαχον προστάτιδα καὶ ἀκοίμητον φρουρὸν τῆς καθ' ἡμᾶς κώμης Φοινικούντας Κυρίαν καὶ Δέσποιναν ἡμῶν Θεοτόκον, τὴν ἐπικεκλημένην Τριχεροῦσα.**

Στίχοι

*Φοινικουντίων φάνηθι, Τριχεροῦσα,*
*Πρέσβις ἀκοίμητος πρὸς σεπτὴν Τριάδα.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Γέγηθε Φοινικοῦντα Κόρην Τριχεροῦσαν γεραίρουσα.*
*καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ*

*Ταῖς τῆς Πανάγνου Θεομήτορος, τῆς Τριχερούσης, καὶ πάντων τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Οὐ δυνάμεθα, εἰπεῖν τὰ σὰ θαυμάσια, ἃ ἀπεργάζεσαι, τοῖς σὲ τιμῶσιν ἁγνῶς, Παρθένε θεόνυμφε, ὡς ζωοδόχος πηγή, καὶ παρέχουσα, ἑκάστῳ τὰ συμφέροντα, πρὸς ψυχῆς τὴν σωτηρίαν.

Νίκην πάρεχε, τοῖς ἐναθλοῦσι τέκνοις σου, κατὰ παθῶν ἀπηνῶν, διδοῦσα χάριν αὐτοῖς, καὶ ὥρᾳ τῆς θλίψεως, νέφη διάλυσον, τῇ πρεσβείᾳ σου, πρὸς τὸν Θεὸν καὶ Κύριον, Παναγία Τριχεροῦσα.

Τεῖχος ἄῤῥηκτον, κατὰ δαιμόνων πέφυκας, Μῆτερ Παντάνασσα, τῶν πολεμούντων ἀεί, ἡμᾶς ὅπως λύσωσι δεσμοῦ μετὰ τοῦ Χριστοῦ· Ὃν ἱκέτευε, αὐξάνειν τὴν ἀγάπησιν, πρὸς Αὐτὸν ὦ Τριχεροῦσα,

Ῥητορεύουσιν, ἀγλώττως τὰ θαυμάσια, ἃ καθ' ἑκάστην ποιεῖς, τοῖς δεομένοις θερμῶς, καὶ πόθῳ προστρέχουσι τῇ σῇ πανάγνῳ μορφῇ, ὅθεν χέονται, αἱ δωρεαὶ τῆς χάριτος, Θεοτόκε Τριχεροῦσα.

Καταβασία. *Οὐκ ἐλάτρευσαν.*

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.

Ἴδιον τυγχάνει σῆς ἀγάπης, ἐκ βόθρου τῆς ἁμαρτίας αἴρειν Ἄχραντε, καὶ ἑνοῦν τῷ Τόκῳ σου, τοὺς ἐπαναστρέφοντας, ὥσπερ ποτε ὁ Ἄσωτος, ἐξ ἀπωλείας ὁδοῦ, μετανοίᾳ, πρὸς τὸν ἐπουράνιον, Τριχεροῦσα Πατέρα καὶ εὔσπλαγχνον.

Χρώματα φθειρόμενα τῷ χρόνῳ, καὶ ξύλα πολυκαιρίᾳ τὰ σηπόμενα, οὐ τιμῶμεν Ἄχραντε, ἀλλὰ σὲ τὴν ἄφθορον, τὸν Θεὸν Λόγον


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τέξασαν, καὶ γένος σῴσασαν, τῶν ἀνθρώπων, καταδυναστεύσεως, Τριχεροῦσα, ἐχθροῦ τῇ κυήσει σου.

Ἔστης δεξιὰ τοῦ Βασιλέως, ὡς Μήτηρ Αὐτοῦ Θεοχαρίτωτε, καὶ παρθένων τάγματα, ὄπισθέν σου εἵλκυσας, τὸ θεῖον Τούτου πρόσωπον, ἐπιποθήσαντα, καὶ ἀγγέλων, βίον ἐκμιμούμενα, τῶν ἀΰλων ὑλαίοις ἐν σώμασι.

Ῥῶσιν ἀσθενοῦσι δίδου Μῆτερ, τοῖς πόθῳ εἰκόνι σου προσπίπτουσι, τοὺς καρκίνους δίωκε, τὰς ψυχὰς εἰρήνευε, οἰκογενείας φύλαττε, σκέπε νεότητα, καὶ ἁπάντων, φάνηθι ὑπέρμαχος, Τριχεροῦσα ὑμνούντων τὴν δόξαν σου.

Καταβασία. Αἰνοῦμεν, εὐλογοῦμεν. Παῖδας εὐαγεῖς.
Ὠιδὴ θ'. Ἅπας γηγενής.

Ὅπερ Γαβριήλ, τό, Χαῖρέ,σοι εἴρηκεν ἅπαξ ἡμεῖς οἱ πιστοί, μυριάκις κράζομεν, ὡς μυριάκις εὐργετούμενοι, καὶ ὡς πτωχοὶ μὴ ἔχοντες, ἄλλον ἐπάξιον, ὕμνον τοῦτον, Τριχεροῦσα ψάλλοντες, ἐκ ψυχῆς ἀενάως προσάγομεν.

Ὑπὸ τὴν σκιάν, πτερύγων ἀγάπης σου, ἀσφαλιζόμενοι, Τριχεροῦσα πίπτομεν, πρὸ τῆς εἰκόνος καὶ εὐγνωμόνως σοι, ψυχῆς εὐχαριστήρια ἀποδιδόαμεν, καὶ αἰτοῦμεν· σκέπε ἡμᾶς πάντοτε, ἐκ κινδύνων ἀτρώτους Πανάχραντε.

Σῶζε ἐς ἀεί, Φοινικοῦντα Δέσποινα τὴν εὐμοιρήσασαν, ἔχειν τὴν εἰκόνα σου, τὴν χορηγοῦσαν ἀφθόνως χάριτας, καὶ λάτρας σου ἀνάδειξον, Φοινικουντίους πιστούς, ὡς εἰκόνας, ζώσας καὶ ἐμψύχους τε, σοῦ Υἱοῦ Τριχεροῦσα ἀμόλυντε.

Ἀπὸ τῶν πολλῶν, πταισμάτων ἀπάλλαξον ἡμᾶς εὐχαῖς σου Σεμνή, καὶ ἀῤῥήκτως ἕνωσον, τῷ γλυκυτάτῳ Υἱῷ σου Δέσποινα, ἐνταῦθα καὶ ἀξίωσον, ἐν Παραδείσῳ ἀεί, μεθ᾽ Ἁγίων, Πάντων Τούτου πρόσωπον, κατιδεῖν Τριχεροῦσα τὸ πάμφωτον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἄκουσον κἀμοῦ, τολμήσαντος ὕμνους σοι πλέξαι πτωχοὺς Ἀγαθή, καὶ καρδίαν κάθαρον, ἐγκαθιστῶσα ταύτῃ τὸν Κύριον, Ὅστις ζωὴ καὶ ὕμνησις, καὶ γλυκασμὸς ἀληθής, ἔσοιτό μοι, Τριχεροῦσα ἅπαντα, παρορῶν ἐπταισμένα ἃ πέπραχα.

Καταβασία. *Ἅπας γηγενής.*

Ἐξαποστειλάριον. Ἦχος β'. Τοῖς μαθηταῖς.

Ὕμνοις καταγεραίρομεν, Τριχεροῦσα σὴν μνήμην, καὶ τὴν σεπτὴν εἰκόνα σου, προσκυνοῦντες ἐκ πόθου, μετέχομεν τῶν ἀκτίστων, δωρεῶν ἃς ἐκχέει, ἀγάπην προστιθέμενοι, πρὸς ἀγάπην τὴν θείαν, καὶ σὸν Υἱόν, Ὃν ἀφθόρως ἔτεκες δυσωποῦμεν, ὅπως ἡμῖν δωρήσηται, οὐρανῶν Βασιλείαν.

ἕτερον. Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῆς Φοινικοῦντος τὴν κώμην, τὴν σὴν εἰκόνα τιμῶσαν, παντοιοτρόπως εὐλόγει, ἐν ἀγαθοῖς οὐρανίοις, τῇ μητρικῇ σου ἀγάπῃ, πανάσπιλε Τριχεροῦσα.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος πλ.δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Σήμερον κώμη εὐφραίνεται, Φοινικουντίων πιστῶν, Τριχερούσης γεραίρουσα, μνήμην τὴν πανσέβαστον, ἧς εἰκόνα τὴν ἄχραντον, ὡς πλοῦτον ἔχει καὶ καταφύγιον, πηγὴν θαυμάτων, καὶ τεῖχος ἄῤῥηκτον· ὅθεν ἐν ᾄσμασι, στέφει τὴν Θεόπαιδα θεοπρεπῶς, δεχομένη ἄνωθεν, τὴν εὐλογίαν Αὐτῆς.

Ὥσπερ χερσὶ ταῖς πανάγνοις σου, Χριστὸν ὡς βρέφος κρατεῖς, Τριχεροῦσα ὑμνοῦντάς σε, διακράτει πάντοτε, θείαν χάριν παρέχουσα, ἐν ταῖς ἀνάγκαις καὶ περιστάσεσι, ἐν ἀσθενείαις καὶ βίου κύμασιν, ἵνα

δοξάζωμεν, εὐγνωμόνως Ἄχραντε, μνήμην τὴν σήν, καὶ κατασπαζώμεθα, τὴν ἱερὰν Σου μορφήν.

Οὐδὲν ἀδύνατον Δέσποινα, σοὶ τῇ τεκούσῃ Θεόν, Τριχεροῦσα πρὸς Κύριον, τῇ ἐχούσῃ πάντοτε, ἐν πρεσβείαις τὸ βέβαιον. Διὸ ἐν πόθῳ τοὺς καταφεύγοντας, τῇ σῇ εἰκόνι, χαρίτων ἔμπλησον, διδοῦσα πλήρωσιν, αἰτημάτων Ἄφθορε, καὶ προσευχῶν, ἵνα μεγαλύνωμεν, τὴν θείαν δόξαν Σου.

Χαῖρε τὸν Ἥλιον τέξασα, ἐκ τῆς ἁγνῆς σου γαστρός, Τριχεροῦσα πανάσπιλε, σκότος ἐκδιώκοντα, ἐκ ψυχῶν τῶν ὑμνούντων σε, καὶ χορηγοῦντα τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκπληροῦντα, τὰς ἱκεσίας Σου. Ὃν καθικέτευε, δοῦναι ἡμῖν ἄφεσιν ἁμαρτιῶν, καὶ εἰρήνην ἄσειστον, τῆς Φοινικοῦντος πιστοῖς.

Δόξα. Καὶ νῦν. Ἦχος πλ.α΄.

Τῆς ἀληθείας τὸ ἀναντίῤῥητον μυστήριον μὴ διαλυμαινόμενοι, καὶ τῆς θεολογίας τὸ ἀγνότατον ὕψος μὴ καταῤῥυπαίνοντες, ὁμολογοῦμεν Τριχεροῦσα Πανάχραντε, ὅτι ἐπὶ σοὶ ὁ νοῦς τῶν πραγμάτων ἐλάττων, καὶ ὁ λόγος τῶν νοουμένων πάλιν καταδεέστερος. Πῶς γὰρ ἡ αὐτὴ ὑπῆρξας γυνὴ καὶ παρθένος καὶ μήτηρ, καὶ ἐν τῷ ἁγιασμῷ τῆς παρθενίας διέμεινας, καὶ τῆς τεκνογονίας τὴν εὐλογίαν ἐκληρονόμησασκ Ὅθεν ὡς Μητέρα Χριστοῦ ἠγαπημένην, πανευγνωμόνως σε οἱ Φοινικούντιοι μεγαλύνοντες, σὺν Τούτῳ τὸν Πατέρα καὶ τὸ Πνεῦμα δοξάζομεν Θεοχαρίτωτε, αἰτούμενοι ταῖς ψυχαῖς ἡμῶν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν, Ἀποστολοευάγγελον, τὰ τῆς 15ης Αὐγούστου.

Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


## *Μεγαλυνάρια*

Δεῦτε μετὰ πόθου καὶ χαρμονῆς, Τριχερούσης τύπον, καὶ εἰκόνα θαυματουργόν, προσκυνοῦντες χάριν, Θεοῦ καὶ εὐλογίαν, πρεσβείαις ταύτης πάντες, προσπορισώμεθα.

Θεῖε Ἰωάννη Δαμασκηνέ, Θεοτόκου λάτρα, Τριχερούσης θαυματουργοῦ, ὥσπερ τὴν σὴν χεῖρα, κοπεῖσαν ἰατρεύθης, ἡμῶν ψυχῶν δυνάμεις, πάσας ἰάτρευσον.

Φοινικοῦντα κώμην τὴν εὐλαβῆ, σὴν μορφὴν πλουτοῦσαν, Τριχεροῦσα θαυματουργέ, φύλαττε ἐκ πάσης, νόσου τε καὶ ἀνάγκης, ὅπως ἀεὶ δοξάζῃ, τὴν θείαν χάριν σου.

Στίχοι

*Τοὺς σὲ τιμῶντας ἀεί, ὦ Τριχεροῦσα,*
*Σκέπε μητρικῶς ἐκ κινδύνων παντοίων.*


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ